ὑποστροφὴ νόσου

ὡς μὴ ὑποστρέψειεν εἰσαῦθις νόσος
ὕλης μενούσης δραστικωτέρας ἔτι (α),
ἢ τῆσδ' ἐς ἄλλους πῃ μεταστάσης τόπους (β)

Μετάπτωσις εἰς ἄλλην.

νόσος γένοιτ' ἂν τῆς πρὶν ἐξηλλαγμένη,
ἢ μὴ τραπείη ῥᾷστα μακρὰν ἐς νόσον
λειφθέντος ἐντὸς ζωπύρου δραστηρίου·
τόδ' ἐμμένον γὰρ συγχέει μὲν ἀρτίων
κινήσεων σύστημα βληχρᾷ τῇ δράσει, ιε. 282
ἐξασθενοῦν τάσδ' ἐν βράδει τε κἀν χρόνῳ,
κἀνθέντε χυμῶν εἰσάγει δυσκρασίαν, ιβ. 241 246
κἀκ τῆσδε δεινὴν μαλθακῶν σπλάγχνων βλάβην,
ἔμφραξιν, ἢ σκίῤῥωμα, πρὸς δ' ἕλκωμά τε,

ἢ εἰς χρονίαν

τίκτει δὲ συντήκουσαν ἐν χρόνῳ νόσον.

ΙΗ.

Ἐξ ὧν πρόδηλον αἴτιον μὲν δρῶν ἅπαν,
κἀν σώματι ξύμπαντι κἀν τῷδ' ἐν μέρει,
χυμῶν θίγειν πρὶν, τῶν δε ῥᾷον τ' ἐκτρέπειν
κρᾶσιν ῥοώδε' εὐμετάβλητον θ' ὅλως, ιζ. 347
ὃ κἀρεθίζειν τοῖς δε συμπεφυρμένον
δινούμενόν τε νεῦρα τ' ἶνας τ' αὐτίκα,
οὗ τερέθισμα πᾶν παρορμᾷν ῥαδίως ιε. 287
κινήσεων σύστημα συγχέειν τ' ἄγαν
κἀνατρέπειν πᾶν τοῦδ' ἰσόῤῥοπον σθένος,
ὅγ' ἐστὶ βλάπτειν χρῆσιν αὐτίκ' ἀρτίαν ιε. 282

κινή-

(α) Ἀφορ. Β. ιβ. ἐπιδημ. β. α. πα. Γ. οβ. ϛ. γ. ξβ. Ἀρετ. Καππαδοκ. θεραπ. ὀξ παθ. Α. ι. (β) ἀφορ. Ε. η. ιε. Γαλην. περὶ κρισιμ. ἡμερ. Α. α.